Eulogikon

Ancient Greek Texts — Free & Open source

eul_wid: evu-aa

*Στράτων ὁ Κωμικός* · Straton Comicus

# Pretentious Dinner Guest

## *Ἀπόσπασμα*

**Period:** *Κλασική* Classical
**Dialect:** *Ἀττική* Attic (com, frg)
**Domain:** *Κωμῳδία* Comedy
**Format:** *Ἔμμετρος* Verse

book 1.1 Σφίγγ’ ἄρρεν’, οὐ μάγειρον, εἰς τὴν οἰκίαν εἴληφ’· ἁπλῶς γὰρ οὐδὲ ἓν μὰ τοὺς θεοὺς ὧν ἂν λέγῃ συνίημι. καινὰ ῥήματα

book 1.2 πεπορισμένος πάρεστιν· ὡς εἰσῆλθε γάρ,εὐθύς μ’ ἐπηρώτησε

book 1.3 προσβλέψας μέγα. ‘πόσους κέκληκας μέροπας ἐπὶ δεῖπνον‘; λέγε. ‘ἐγὼ κέκληκα μέροπας ἐπὶ δεῖπνον; χολᾷς; τοὺς δὲ μέροπας

book 1.4 τούτους με γινώσκειν δοκεῖς; οὐδεὶς

book 1.5 παρέσται· τοῦτο γὰρ νὴ τὸν Δίαἔτι κατάλοιπον, μέροπας ἐπὶ δεῖπνον καλεῖν.‘ ‘οὐδ’ ἄρα

book 1.6 παρέσται δαιτυμὼν οὐδεὶς ὅλως;‘ ‘οὐκ οἶδ’ ἔγωγε Δαιτυμόν‘’. ἐλογιζόμην, ἥξει

book 1.7 Φιλῖνος, Μοσχίων, Νικήρατος, ὁ δεῖν’, ὁ δεῖνα· κατ’ ὄνομ’ ἀνελογιζόμην·

book 1.1 οὐκ ἦν ἐν αὐτοῖς οὐδὲ εἷς μοι Δαιτυμών. ‘οὐδεὶς

book 1.2 παρέσται‘ φημί. ‘τί λέγεις; οὐδὲ εἷς;‘ σφόδρ’ ἠγανάκτης’, ὥσπερ ἠδικημένος, εἰ μὴ κέκληκα Δαιτυμόνα. καινὸν πάνυ. ‘σὺ δ’ ἄρα θύεις ἐρυσίχθον’;‘ οὐκ ἔφην ἐγώ.‘βοῦν δ’ εὐρυμέτωπον;‘ ‘οὐ θύω βοῦν, ἄθλιε.‘ μῆλα θυσιάζεις ἄρα;‘ ‘μὰ Δί’ ἐγὼ μὲν οὔ, οὐδέτερον αὐτῶν, προβάτιον δ’.‘ ‘οὐκοῦν’ ἔφη τὰ μῆλα

book 1.3 πρόβατα.‘ ‘οὐ μανθάνω

book 1.4 τούτων οὐδέν, οὐδὲ βούλομαι.

book 1.1 ἀγροικότερός εἰμ’, ὥσθ’ ἁπλῶς μοι διαλέγου.‘ ‘Ὅμηρον οὐκ οἶδας λέγοντα;‘ ‘καὶ μάλα ἐξῆν ὃ βούλοιτ’, ὦ μάγειρ’, αὐτῷ λέγειν. ἀλλὰ τί πρὸς ἡμᾶς

book 1.2 τοῦτο, πρὸς τῆς Ἑστίας;‘ ‘κατ’ ἐκεῖνον ἤδη

book 1.3 πρόσεχε καὶ τὰ λοιπά μοι‘.‘Ὁμηρικῶς γὰρ διανοεῖ μ’ ἀπολλύναι;‘ ‘οὕτω λαλεῖν εἴωθα.‘ ‘μὴ τοίνυν λάλει οὕτω

book 1.4 παρ’ ἐμοί γ’ ὤν.‘ ‘ἀλλὰ διὰ τὰς τέτταρας δραχμὰς ἀποβάλω‘ φησί ‘τὴν

book 1.5 προαίρεσιν; τὰς οὐλοχύτας φέρε δεῦρο.‘ ‘τοῦτο δ’ ἐστὶ τί;‘‘κριθαί.‘ ‘τί οὖν, ἀπόπληκτε, περιπλοκὰς λέγεις;‘ ‘πηγὸς πάρεστι;‘ ‘πηγός; οὐχὶ λαικάσει ἐρεῖς

book 1.6 σαφέστερόν θ’ ὃ βούλει μοι λέγειν;‘ ‘ἀτάσθαλός γ’ εἶ, πρέσβυ‘ φής’· ‘ἅλας φέρε. τοῦτ’ ἔστι

book 1.7 πηγός. ἀλλὰ δεῖξον χέρνιβα.‘παρῆν. ἔθυεν, ἔλεγεν ἄλλα ῥήματα

book 1.8 τοιαῦθ’ ἃ μὰ τὴν γῆν οὐδὲ εἷς ἤκουσεν ἄν, μίστυλλα, μοίρας, δίπτυχ’, ὀβελούς· ὥστε με τῶν
book 1.9 τοῦ Φιλητᾶ λαμβάνοντα βυβλίων
book 1.10 σκοπεῖν ἕκαστα τί δύναται τῶν ῥημάτων·
book 1.1 [ln_45]πλὴν ἱκέτευον αὐτὸν ἤδη μεταβαλεῖν ἀνθρωπίνως λαλεῖν
book 1.2 τε. τὸν δ’ οὐδ’ ἂν
book 1.3 ταχὺ ἔπεισεν ἡ Πειθὼ μὰ τὴν γῆν οἶδ’ ὅτι.

Eulogikon public reading copy · View original HTML at eulogikon.org